## 164. THE TIME THAT NO ONE KNOWS (Matt-Lk Identicals)

| Matt 24:32-44 | Luke 21:29-33 |
|---|---|
| | *Καὶ εἶπεν παραβολὴν αὐτοῖς·* |
| *Ἀπὸ δὲ τῆς συκῆς* | *Ἴδετε τὴν συκῆν* |
| | *καὶ πάντα τὰ δένδρα·* |
| *μάθετε τὴν παραβολήν·* | |
| *ὅταν ἤδη ὁ κλάδος αὐτῆς* | *30 ὅταν προβάλωσιν ἤδη,* |
| *γένηται ἁπαλὸς* | |
| *καὶ τὰ φύλλα ἐκφύῃ,* | |
| | *βλέποντες ἀφ ἑαυτῶν* |
| *γινώσκετε* | *γινώσκετε* |
| *ὅτι ἐγγὺς τὸ θέρος·* | *ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν·* |
| *33 οὕτως καὶ ὑμεῖς,* | *31 οὕτως καὶ ὑμεῖς,* |
| *ὅταν ἴδητε πάντα ταῦτα,* | *ὅταν ἴδητε ταῦτα γινόμενα,* |
| *γινώσκετε ὅτι ἐγγύς ἐστιν* | *γινώσκετε ὅτι ἐγγύς ἐστιν* |
| | *ἡ βασιλεία τοῦ θεοῦ.* |
| *ἐπὶ θύραις.* | |
| *34 ἀμὴν λέγω ὑμῖν ὅτι* | *32 ἀμὴν λέγω ὑμῖν ὅτι* |
| *οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη* | *οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη* |
| *ἕως ἂν πάντα ταῦτα γένηται.* | *ἕως ἂν πάντα γένηται.* |
| *35 ὁ οὐρανὸς καὶ ἡ γῆ* | *33 ὁ οὐρανὸς καὶ ἡ γῆ* |
| *παρελεύσεται,* | *παρελεύσονται,* |
| *οἱ δὲ λόγοι μου* | *οἱ δὲ λόγοι μου* |
| *οὐ μὴ παρέλθωσιν.* | *οὐ μὴ παρελεύσονται.* |
| *36 Περὶ δὲ τῆς ἡμέρας ἐκείνης* | |
| *καὶ ὥρας οὐδεὶς οἶδεν,* | |
| *οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν* | |
| *οὐδὲ ὁ υἱός,* | |
| *εἰ μὴ ὁ πατὴρ μόνος.* | |
| *37 ὥσπερ γὰρ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.* | |
| *38 ὡς γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ γαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν,* | |
| *39 καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου.* | |

*40 τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ, εἷς παραλαμβάνεται καὶ εἷς ἀφίεται·*

*41 δύο ἀλήθουσαι ἐν τῷ μύλῳ, μία παραλαμβάνεται καὶ μία ἀφίεται.*

*42 γρηγορεῖτε οὖν,*

*ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ*

*ὁ κύριος ὑμῶν ἔρχεται.*

*43 ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν διορυχθῆναι τὴν οἰκίαν αὐτοῦ.*

*44 διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ οὐ δοκεῖτε ὥρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.*

279 total words with 74 identicals = 27%